Nub. № 3308.

# ΑΙΜΙΛΙΟΣ ΠΟΡΤΟΣ

## Ο ΦΡΑΓΚΙΣΚΟΥ ΠΟΡΤΟΥ ΤΟΥ ΚΡΗΤΟΣ

τοῖς ἐντευξομένοις εὖ πράττειν.

Οἱ τῶν φιλοτίμων, καὶ σκαιῶν ἀνθρώπων, ὦ φιλέλληνες, ποτὲ μὲν τοὺς ἀλλοτρίους πόνους ἀναιδῶς ὑφαρπάζειν, καὶ παρανόμως σφετερίζεσθαι φιλοῦσιν, ἵνα μνήμης, καὶ δόξης, εἰ δυνατὸν, αἰωνίου τύχωσι. ποτὲ δὲ ταῖς ἑαυτῶν λήροις, καὶ περὶ καπνοῦ λεπτολογίας σεμνοῖς ἰδίων ἐπαίνων στεφάνοις στεφανοῦν φιλοτιμοῦνται. ταύτην δὲ φιλοτιμίαν, καὶ σκαιότητος μωρίαν ἡμεῖς μισοῦντες, τούτους οὐκ ἔγνωμεν μιμεῖσθαι. τοῖς δὲ τῶν σοφῶν, καὶ δικαίων ἀνδρῶν καλοῖς παραδείγμασιν ἀκολουθεῖν, καὶ τὸ οἰκεῖον δίκαιον ἑκάστῳ νέμειν ὀφειλόμεθα. καὶ τοῖς ἡμῶν εὐεργέταις τὰς ὀφειλομένας τιμὰς ἀποδιδοῦναι, καὶ τὰς αὐτῶν εὐεργεσίας πᾶσι φανερὰς ποιεῖν προθύμως ἠξιώσαμεν. Ἐν δὲ τοῖς ἡμῶν λόγοις πολλὴν μὲν ἀληθείας παρρησίαν, οὐδεμίαν δὲ θωπείας ὑποψίαν εὑρήσεις. ποῖον γὰρ, καὶ πόσον ἦν τὸ τῶν σφαλμάτων πλῆθος, ὃ τὸν Ἀριστοφάνη, καὶ τὰ παλαιὰ εἰς αὐτὸν σχόλια πρότερον ἐλυμαίνετο, καὶ τῆς ἀττικῆς ῥήσεως τὴν εὐτραπελίαν, τὴν κομψότητα, τὴν ἡδονὴν, καὶ χάριν ἠφάνιζεν, οὐδεὶς τῶν μετρίως πεπαιδευμένων ἀγνοεῖ. ταῦτα δὲ τοσαύτης διαφθορᾶς κωλύματα τοὺς τοῖς Ἀριστοφάνους δράμασιν ἐντυχεῖν ἐπιθυμοῦντας ἐτάρασσε, καὶ τῶν ὑπ᾽ αὐτοῦ λεγομένων τὸ σκοτεινὸν, καὶ δύσγνωστον τοὺς φιλέλληνας ἀπὸ τῶν Ἀριστοφανείων ποιημάτων ἀπέτρεπεν. ἡμῖν δὲ πλεῖστον ἤδη χρόνον ἀμηχανοῦσι, καὶ ποῖ τραπείημεν ἀποροῦσι, τέλος παρὰ πᾶσαν προσδοκίαν λαμπρὸν ἔλαμψε φέγγος, ὅπερ εὐεργέσατος, καὶ ταῖς Μούσαις φίλτατος ἀνὴρ, ΟΔΟΑΡΔΟΣ ΒΙΖΕΤΟΣ ἐνεγκὼν τὴν τοῦ σκότου πυκνότητα διεσκέδασε. τίς οὖν ταύτης τῆς ποθεινῆς ἀληθείας ἀνδρὶ τηλικούτῳ χαριστήρια φθονήσει; τίς οὕτω κακοήθης, τίς οὕτω φθονερὸς, ὥστε τοιαῦτα, καὶ τοσαῦτα τοῦ πάντας τῆς ἑλληνικῆς γλώσσης ἐραστὰς εὐποιήσαντος εὐεργετήματα σιωπᾶν ἐθέλειν; Οὗτος τῇ συνέσεως εὐστοχίᾳ, καὶ παιδείας ἐπιμελείᾳ τὸν Ἀριστοφάνην εἰς τὴν ἀρχαίαν πλοῦτον, καὶ κόσμου κτῆσιν ἀνήγαγε. πρὸς δὲ τούτοις καὶ μεγίστῳ πάντων, καινῶν τε εὑρημάτων πλήθει πλουτίσας ἐκόσμησεν, ἅπερ αὐτοῦ τὴν εὐγένειαν, τὰ ἐπιτηδεύματα, καὶ πολύτροπον ἐπιστήμην ἀρκούντως ὑμνοῦσιν. ἡ γὰρ αὐτοῦ σωφροσύνη, καὶ περιβόητος ἐπιείκεια τὴν ἀγαθὴν ἡμετέρας προαιρέσεως σπουδὴν περὶ τὰς ἀληθινῶν κατορθωμάτων μακροτέρας ἀνακηρύξεις ἐπέχει. Βέλτιον δὲ τοῖς ἔργοις, ἢ ταῖς κεναῖς ἀκαίρων ἐγκωμίων μακρολογίαις τῶν ἡμῖν εἰρημένων πεῖραν αὐτίκα λαμβάνειν. Εἰ δέ τις καὶ τὴν ἐμοῦ μικρὰν συνεισφορὰν ἀποδεκτέαν οἴεται, τοῦτο χαράν μοι, καὶ τέρψιν μεγάλην οἴσει, καὶ πρὸς μειζόνων ἐπιχείρησιν τάχα προτρέψει. περὶ δὲ κωμῳδίας, καὶ τῶν αὐτῆς μερῶν ὅτι πολλοὶ πολλὰ παρέδωκαν, ἃ καὶ νῦν ἔχομεν ἐκτυπωθέντα, διὰ πλειόνων ἐν τῷ παρόντι μηδὲν λεκτέον. Ἐκεῖνο μέντοι τῶν κριτικῶν τις ἴσως ἂν εἴποι τοὺς τὰς ἑλληνικὰς κωμῳδίας κατὰ τὴν τῶν Λατίνων παράδοσιν διαιρεῖν ἐπιχειρήσαντας, καινῆς, καὶ παραδόξου διδαχῆς εἰσηγητὰς φανῆναι. καὶ γὰρ οὐ μόνον ἐν δράματος ἑκάστου διαιρέσει, καὶ μέρεσιν, ἀλλὰ καὶ ἐν αὐτῇ τῶν ὀνομάτων δηλώσει παρὰ πάντων τῶν παλαιῶν Ἑλλήνων γνώμην ἀναμφισβητήτως καινοτομῆσαι δοκοῦσιν. ἀλλὰ τούτων κρίσιν τοῖς ἐμπειροτέροις ἐάσω. περὶ δὲ λέξεων, καὶ φωνῶν τινων, αἷς ἐν τοῖς Ἀριστοφάνους παλαιοῖς σχολίοις πολλάκις ἡμῖν ἀπαντώσας, καὶ τὸν τῆς ἀναγνώσεως δρόμον διὰ τὴν ἄγαν αὐτῶν ἀσάφειαν σφόδρα κωλυούσας εὑρίσκομεν, ὡς σαφέστατα, καὶ βραχύτατα δυνήσομαι, λέγειν πειράσομαι. τοῦ δὲ τολμήματος τὸ βάρος, καὶ τοῦ κινδύνου τὸ μέγεθος αἰσθάνομαι. καὶ γὰρ ἐς τοσοῦτον ἀλαζονείας, μᾶλλον δὲ φρενοβλαβείας οὐ προῆλθον, ὡς ὑπ᾽ ἐμοῦ τῶν οὔπω δεδηλωμένων (ὑπ᾽ οὐδενὸς γὰρ οὔτε τῶν πάλαι, οὔτε τῶν νῦν ἀνθρώπων οὐδεμίαν περὶ τούτων μνήμην οἶδα πεποιημένην) ἀκριβεστάτην ἑρμηνείαν εὑρεθήσεσθαι νομίζειν. ἀλλὰ τῇ συνεχεῖ τῶν φίλων δεήσει, καὶ τῶν κρεισσόνων παρακλήσει συγχωρεῖν ἠναγκάσθην. εἰ τοίνυν τολμηρόν τι, καὶ παρακεκινδυνευμένον, ἢ τῆς δόξης ὑποδεέστερον εἰπὼν δόξω· τούτου ξυγγνώμην αἰτοῦμαι. τὰς δὲ τῶν ἄλλων ἐξηγήσεις, εἴπερ βεβαιοτέρας, καὶ πιθανωτέρας εἶναι κα-